VI

Städtisches Gymnasium

zu

OHLAU

1878

2. Wissenschaftlicher Teil

OHLAU,
Schnellpressendruck von A. Bial.

Progr. Nr. 163.

MAXIMI PLANUDIS

COMPARATIO

HIEMIS ET VERIS

EDIDIT

MAX. TREU

Μαξίμου τοῦ Πλανούδη

Σύγκρισις χειμῶνος καὶ ἔαρος

Οἶμαι καὶ πρὸς μόνην τὴν ἀκοὴν ἀποπηδήσειν αὐτίκα τινάς, εἰ χειμῶνος καιρὸν καὶ ἔαρ παρατιθέντες τούτου ἐκεῖνον ἐν οἷς ὧραι θαυμάζονται ἐπαγγελούμεθα τὰ πρῶτα ἀποίσεσθαι. δεινὸν γὰρ καὶ περιττῶς ἄτοπον δόξει λόγῳ τὴν τῶν πολλῶν δόξαν καθαιρεῖν ἀξιοῦν, παρ' οἷς λόγος τὰ δεύτερά που καὶ τρίτα μετὰ τὴν αἴσθησιν ἔχει, μηδὲν πέρα τῆς κατ' αὐτὴν πείρας συνορᾶν δυναμένοις. καὶ οὐχ ἥκιστα νῦν, ὅτε τις τῶν τοῦ ἡμετέρου συστήματος τοῦ λογικοῦ καταλόγου, ἀνὴρ τὰ μὲν ἄλλα φίλτατος πάντων ἐμοὶ καὶ φιλοσοφίας ἄκρως ἐχόμενος, δεινότατος δὲ εἰπεῖν καὶ λόγους πράγμασιν ἱκανὸς ἐξισῶσαι, ἔστι δὲ καὶ ὑπερβαλέσθαι, ἔαρος μὲν καὶ τῶν κατ' αὐτὸ μακρὸν διεξῆλθε τὸν ἔπαινον ἐν μέρει λογικῆς παιδιᾶς τε καὶ διαχύσεως, χειμῶνα δὲ πολλά τε καὶ ἀηδῆ ἐξωνείδισε, τοσόνδε τι πειθοῖ ξυμμιγῆ τὸν λόγον καὶ χάριτι κερασάμενος, ὥστ', εἰ μὴ γυμνασία τις ἦν μηδ' ἐπίδειξις τῆς περὶ λόγους ἀσκήσεως, ἄντικρυς ἀλήθειαν ὑπειλῆφθαι τὰ εἰρημένα, τὸν χειμῶνά τε κινδυνεύειν ἐντεῦθεν οὐχ ὅπως τοῦ ἀρίστου ἀποπίπτειν, ἀλλὰ μηδὲ ταῖς ὥραις συνεξετάζεσθαι. συνεπῆρε δέ οἱ τὸν λόγον καὶ μέχρι πόρρω κεχωρηκέναι παρεσκεύασε πιθανότητος καὶ τὸ ἐνεστηκὸς τοῦ καιροῦ. χειμὼν γὰρ καὶ χειμῶνος τὸ ἀκμαιότατον· ἡνίκα καὶ εἴ τινος αἴσθησιν οὐχ ἡδέος ὁ καιρὸς οὗτος παρέχεται — παρέχεται δὲ οἷς καὶ παιδευτὴς φοβερὸς ὁρᾶται

τὴν μάστιγα ἐπανατεινόμενος καὶ ἰατρὸς ἀποτρόπαιος ξύρον τε καὶ καυτῆρα προβάγων — βαρυτέρας τῆς φανταζομένης δυσχερείας ἐπειράθησαν ἄνθρωποι.

Οἶμαι μὲν οὖν, ὡς εἴρηται, καὶ πρὸς αὐτὴν τὴν ἀκοὴν ἀποπηδήσειν τινάς· ἀλλ' ἀνάσχεσθε, εἴ τι λέγειν ἔχομεν, διακοῦσαι. ὁ μὲν σοφὸς ἐκεῖνος ἀνήρ, πᾶν ὡς εἰπεῖν ἀπόφημον καταχεάμενος τοῦ χειμῶνος καὶ πολλὰ καταδραμὼν αὐτόν, ὡς μηκέτι μηδ' ὄνομα τοὺς πολλοὺς χειμῶνος ἐθέλειν ἀκούειν, ἀπειρημένην τὴν ὡς αὐτὸν κατέλιπε πάροδον, οὐκ οἶδ' εἴτε χειμάρρους ἀπλώτους πελαγίσας τῷ λόγῳ, εἴτε χιόνος πλῆθος καὶ ψύχος ἐπιτειχίσας· οὐ γὰρ ἔλαθεν ἡμᾶς χειμῶνι κατὰ χειμῶνος χρησάμενος, καὶ νύκτας, ἃς οὗτος προβιβασθείσας ἐς ὅσον μήκιστον διεδέξατο, ἐς τὴν αὐτοῦ στηλοκοπίαν καταναλώσας. ἐμοὶ δὲ καὶ μάλα σὺν δίκῃ τὸν αὐτὸν τοῦτον χειμῶνα σύμμαχον ἐπικαλεσαμένῳ ἐξέσται πρὸς αὐτὸν διαβῆναι, τὴν τῶν ῥευμάτων βίαν πιλήσαντα καὶ παγετώσαντα, τῶν τε χαρίτων, ἃς προτείνεται, πλῆθος οὔσας οὐ σταθμητὸν ἀπολαῦσαι καὶ τοῖς ἄλλοις διαγγελεῖν χαριζόμενον. καὶ οἶδα μὲν εἰς δυσχερῆ τὸν ἀγῶνα καθεὶς ἐμαυτὸν καὶ οἷον οὐδεὶς οὐδέπω. ἀλλὰ τί δράσω; οὐ δύναμαι τὴν ἀλήθειαν ἀποκρύπτεσθαι, οὐδ' ἐν ἐλαφρῷ ποιοῦμαι τὸ μὴ ὅσαπερ ἂν ἥδε ὑφηγοῖτο δῆλα καὶ τοῖς ἄλλοις τιθέναι. τί γάρ, εἰ τὴν περὶ λόγους αὐτοῦ τις δύναμιν δεῖξαι φιλοτιμούμενος τῆς τῶν πολλῶν δόξης δραξάμενος καὶ ταύτην κρηπῖδα τῶν σφετέρων ὑποθέμενος λόγων· ἔπειτα πολλὰ ἐπικατασκευάζει τε καὶ συντίθησι ῥήματα, καὶ τὸ ἔαρ ὑμνῶν περὶ πλείονος ἢ τὸν χειμῶνα ποιεῖται, ὥσπερ οὐκ ἐνὸν κἀκείνων μὴ εἰρημένων πρὸς τοιαύταις διὰ βίου δόξαις τὸν πολὺν ὄχλον ἔχειν τὸν νοῦν, οἷς οὐκ ἔστιν ὅτε γενναίου προσαπτομένοις τινός, ὑπ' ἀγυμνασίας τῶν καλῶν ἐκδεδιῃτημένοις εἶναι καὶ διεφθορόσιν ὑπῆρξε τὸν νοῦν.

Μέγιστον μὲν οὖν ἀγαθὸν τὸ τῆς ἀληθείας αὐτῆς ἐφικνεῖσθαι κἀκεῖνα μόνα καὶ διανοεῖσθαι καὶ λέγειν, ὅσαπερ ἐκείνην ὑπαγορεύειν εἰκός· εἰ δὲ μὴ τοῦτ' εἴη, δεύτερος φασὶ πλοῦς τὸ μὴ γοῦν σοφοῦ λόγοις πρὸς παιδιὰν ῥηθεῖσι κλαπέντας συμφέρεσθαι τοῖς δημώδεσι μηδὲ τὰ τῶν ἀπαιδεύτων πρεσβεύειν, εἰ καὶ τῆς ἄκρας εὐδαιμονίας εὐθὺς ὑποβέβηκεν· ἀλλ' οὐδὲν παρὰ τοῦτο πρὸς ἐπιτυχίαν σοφίας ἔλαττον ἀπηνέγκατο, ὡς ἔγωγε οὐχ ὅσον ἔαρ χειμῶνος ἐπίπροσθεν ἄγουσι τοῖς τοιούτοις ὅσα καὶ παραφρονοῦσι προσέχω, ἀλλ' οὐδὲν τοῖς σφόδρα καταφανέσι καὶ ἐν ποσὶ πάνυ τοι πιστεύειν ἔχω. ὑποπτεύω γὰρ τὸν λόγον καὶ ἥκιστα τοῖς ὑπ' αὐτῶν θρυλουμένοις παρρησίαν νέμω· πολλοῦ δὴ δεήσει καὶ συνειπεῖν καὶ συνάρασθαι.

Καὶ γὰρ ἵνα τῶν ἄλλων πολλῶν ὄντων ἀφέμενος, ἃ περὶ τῶν ἀστέρων οὗτοι μετεωρολεσχοῦσι, πρὸς βραχὺ διεξέλθω.

Ὅσους τοὺς περὶ γῆν ἀνθρώπους συμβέβηκεν εἶναι ἰσαρίθμους καὶ οὓς οὐρανὸς ἀστέρας φέρει δημιουργοῦσι, καὶ τῶν μὲν δεξιότητι τύχης χρωμένων λαμπροτάτους ἐδογμάτισαν καὶ τοὺς ἀστέρας ὁρᾶσθαι, ὑποδεεστέρους δὲ τῶν πενίᾳ συζώντων· οἱ δ' εἰς ἅπαν ἐλάσαντες ἀπορίας, οὗτοι φησὶ τοὺς ἀμυδροτάτους ἔλαχον καὶ οἷς τὸ φῶς ἐπιλελοιπέναι δοκεῖ· κἀντεῦθεν δὴ συμπεραίνουσιν, ἑκάστῳ τε τῶν ἀπαλλασσόντων συναποθνήσκειν καὶ τὸν συγκεκληρωμένον ἄνθρωπον καὶ τοῖς εἰς φῶς προιοῦσιν αὖθις ξυγγεννᾶσθαι ἑτέρους.

Καὶ πολλὰ τοιουτότροπα παρακόπτοντες ὀνειρώττουσιν, ἐπεὶ καθάπαξ ὀλίγα σφίσι τῆς ἀληθείας ἐμέλησεν· εἰ τοίνυν ταῦτα παραδεκτέα καὶ τοῖς τῶν σοφῶν δόγμασιν ἐγκριτέα, πιστευτέα καὶ ἃ χειμῶνος πέρι καὶ ἔαρος ὑπειλήφασιν. εἰ δ' ἄλλως ἀμαθῆ καὶ μέγα παραλήρημα καὶ μανίας μακρῷ χείρονα, τί δήποτε τοὺς ταῦτα περὶ τὸν βίον εἰσάγοντας μὴ μεταδιδάξαι τὸ ὂν σπουδάσομεν, ἢ μὴ πειθομένους χαίρειν ἅμα ταῖς

οἰκείαις ἐάσομεν ὑπολήψεσιν; ἡμεῖς δὲ λόγῳ μόνῳ καὶ ζήσομεν καὶ φιλοσοφήσομεν, κἀκεῖνο μόνον εἰσόμεθα καλῶς ἔχειν, καὶ μὴ ὅπερ ἂν οὗτος κρίνῃ, κἂν εἰ μυριάκις τὰ τῶν αἰσθήσεων ἀντιμαρτυρήσῃ. λόγος γὰρ τοῦ τε ἀπταίστου δεινὸς ἰχνευτὴς καὶ τοῦ ἀσφαλοῦς ἄκρος ἐξεταστὴς καὶ τοῦ ἀεὶ ὡσαύτως ἔχοντος ἀντιποιούμενος εὐτονώτατα· αἴσθησις δὲ πολυμιγὲς καὶ παντοδαπὸν καὶ πολλῆς τῆς συγχύσεως ἀναπεπλησμένον, νῦν ἀχθομένη φωτί, νῦν σκότει, νῦν ἀμφοτέροις, παρ' ἑκάτερα χαίρουσα. καὶ ᾐσθόμην γὰρ αὐτὴν τὰ αὐτὰ φιλοῦσαν δή, στυγοῦσαν δή, περινοστοῦσαν ἑκασταχόσε, ὥσπερ που καὶ νοσοῦντες κλίνης κλίνην ἀλλάσσονται κἀκείνης αὖθις ἑτέραν ῥᾷον οὕτως ἕξειν οἰόμενοι.

Πρὸς τούτοις δὲ κἀκεῖνό μοι τὸ δέος ἐπήρτηται, εἰ τοῖς περὶ τὴν αἴσθησιν κεχηνόσι τῶν τε πρὸς τὸν χειμῶνα κατηγοριῶν καὶ τὸ ἔαρ ἐγκωμίων ἐκστησόμεθα. αὐτίκα γὰρ καὶ ταῖς ἄλλαις αὐτῶν δοκήσεσι κατ' ἴχνος ἀκολουθεῖν ἀξιώσουσιν· ὃ μὴ πάθοι μηδείς, φίλος γοῦν ἐμοὶ καὶ τὴν ἀρχὴν ἀληθείας πεφροντικώς τῆς φύσεως ἤδη μειονεκτούσης, εἰ τὸ λογικὸν ζῶον μὴ κατὰ λόγον τὸν βίον μετέλθοι. ἀλλ' ἐπεὶ τίς μὲν ἡ τῶν πολλῶν δόξα καὶ ὅπως ταύτην ἀποτρέπεσθαι δεῖ, τίσι δὲ χρὴ τοὺς περὶ λόγον στρεφομένους στοιχεῖν, ἀποχρώντως ὁ λόγος παρηγγυήσατο, φέρε τὸν τοῦ χειμῶνος καιρὸν ἐξυμνήσωμεν καὶ δείξωμεν ἀντεξετάζοντες ἔαρι, ἐν ὅσοις μὲν καὶ ἄλλοις καλοῖς τοῦδε περίεστι· πρὸς δὲ καὶ οἷς ὅσον οἷόν τε διαλεξόμεθα περὶ ἀμφοτέρων.

Ὁ χειμὼν ὅτι μὲν τοῖς πολλοῖς πόρρω τοῦ ἐπαινεῖσθαι καθέστηκεν, εἴρηται· ὅτι δὲ χειμὼν ἔαρος πρεσβύτερος, καὶ ὅτι εἰ μὴ χειμὼν ἦν, οὐκ ἂν οὐδ' ἔαρ ἦν, ὡς ἐντεῦθεν δῆλον εἶναι καὶ τιμιώτερον αὐτὸν ἔαρος εἶναι, τοῦτο τῷ λόγῳ πρὸ πάντων πειράσομαι παραστῆσαι.

Τοῦ γὰρ ἡλίου διὰ τῆς ἀφ᾽ οὑτινοσοῦν σημείου ἐπὶ τὸ αὐτὸ αὖθις ἀποκαταστάσεως τὴν τοῦ ἐνιαυτοῦ μετροῦντος περίοδον, καὶ τῷ ἐγγὺς ἡμῖν προσιέναι καὶ ἀπιέναι, καθόσον ὁ ζωοφόρος δίδωσι κύκλος καὶ ἡ καθ᾽ ἡμᾶς ἔγκλισις, τὰς ὥρας ἀποτελοῦντος ἀπὸ πρώτης αὐτίκα τοῦ αἰγόκερω μοίρας ἐφ᾽ ἡμᾶς ἐλαύνοντος, ὅτε δὴ καὶ ἀρχὴν ὁ ἐνιαυτὸς δέχεται — τεκμήριον δὲ καὶ γὰρ ἐντεῦθεν αἱ ἡμέραι κατὰ μικρὸν ταῖς ἀεὶ προσθήκαις αὔξουσιν, ὃ σύστασίς τε ὁμοῦ καὶ ἐπίδοσις τῶν ἐν κόσμῳ γίνεσθαι πέφυκε, καὶ διὰ ταῦτα οὐκ ἄλλοθεν ἐγὼ τὸν ἐνιαυτὸν τὴν ἀρχὴν ἀξιῶ ποιεῖσθαι, ἢ ὅθεν περ καὶ ἡ ἡμέρα μείζων ἀεὶ γίνεται — χειμὼν συνίστασθαί τε καὶ ὀνομάζεσθαι ἄρχεται· ὃς καὶ τὸν διωρισμένον αὐτῷ χρόνον ὑπηρετησάμενος τῇ φύσει τοῦ κόσμου — οὐ γὰρ ἐπειδὴ τὰ πρῶτα τοῦ ἔτους φέρεται καὶ καινοτομεῖν τι βούλεται παρὰ τὰ καθεστηκότα — ἔαρι μεταδίδωσι τὴν διακονίαν, ἐντειλάμενος τὸν ῥητὸν χρόνον μὴ ὑπερβὰν ὥρᾳ καὶ αὐτὸ ταύτην ἑτέρᾳ παραπέμψαι. καὶ οὕτω μὲν ἀπεδείχθη χειμὼν ἔαρος προγενέστερος, εἰ δὲ τὸ πρεσβύτερον παρὰ πᾶσι καὶ τιμιώτερον, ἔσται διὰ τοῦτ᾽ αὐτὸ καὶ χειμὼν ἐπικυδέστερος ἔαρος.

Ὅτι δὲ χειμῶνος μὴ ὄντος οὐδ᾽ ἔαρ γενήσεται, οὕτω σκοπουμένοις ἔσται καταφανές.

Θέρους προσάγοντος, εἰ τῷ περὶ καρκίνον τοῦ ζωδιακοῦ τμήματι δώσει τις ἐμφιλοχωρήσαντα τὸν ἥλιον αὐτοῦ τὸ λοιπὸν διατρίβειν, μηδαμῇ μηδαμῶς ἐπανακομιζόμενον ἐπὶ τὰ μεσημβρινὰ τοῦ κόσμου, ἵν᾽ ἐκεῖθεν αὖθις χειμὼν ἀρχὴν δοίη τῷ ἔτει, οὐδ᾽ ἔαρ ἔσται, ἀλλ᾽ ἀειδήποτε θέρος ἐπιπολάσει τῷ κόσμῳ. καὶ οὔπω λέγω, ὡς ἐκπύρωσις γενήσεται καὶ ὄλεθρος τοῦ παντός. εἰ τοίνυν ἐπακολούθημα χειμῶνος ἔαρ ἔσται, ἄρα τούτου ἐκεῖνος οὐκ ἔξω τοῦ εἰκότος καὶ αἰτιώτατος· εἰ δὲ τὰ αἴτια

τῶν ὧν αἴτια προτιμότερα, καὶ χειμὼν ἔαρος δὶς ἤδη καὶ πολλάκις μικρῷ ὕστερον ἐπιδοξότερος ἔσται.

Καίτοι τί ταῦτα φημί, ὅπουγε περιεργασαμένοις οὐδ᾽ ἐν τοῖς οὖσιν ἔαρ ἀριθμηθήσεται; ὄνομα δὲ μόνον πράγματος ἔρημον ἐλεγχθήσεται, χειμῶνι δὲ τὸ τοῦ αἰῶνος ἥμισυ νεμηθήσεται. καὶ δή μοι συμπράξει τῷ λόγῳ καὶ αὖθις ἥλιος περὶ ὡρῶν διαλεγομένῳ· ὅδε γὰρ ἡμερῶν τε καὶ ὡρῶν νομεὺς καὶ τοῦ παντὸς ἔτους ταμίας. ἀγνοεῖ πάντως οὐδεὶς ἢ ὅστις τῶν μὴ γευσαμένων παιδείας, ὡς διττὴν ἥλιος τὴν ἐναντίαν τῷ παντὶ ποιεῖται πορείαν· τὴν ἀπὸ τροπῆς ἐπὶ τροπὴν δηλαδή· τῆς θερινῆς τὴν χειμερινήν, καὶ ταύτης αὖθις ἐκείνην. ἡ μὲν γὰρ ἀφίστησιν αὐτόν, ἡ δὲ πελάζειν ἡμῖν ποιεῖ, καὶ ἀμήχανον τρίτην τινὰ κίνησιν ἐξευρόντα τούτῳ προσαναθέσθαι. οὐδὲ γὰρ οὐδ᾽ ἐπὶ τὸ ἄνω καὶ τὸ κάτω τρίτον τι προσεπινοεῖται πρὸς λόγον κινήσεως· οὐρανοῦ δὲ γοῦν σφαίρας κινουμένης, ἄνω καὶ κάτω τά τε νότια καὶ τὰ βόρεια. ἐπεὶ τοίνυν ἀνωμολόγηται μηδεμίαν μᾶλλον ἢ πέρα δυεῖν τὰς ἡλιακὰς εἶναι κινήσεις, παντί που σαφὲς καὶ δύο καθεστηκέναι τὰς ὥρας, ἑκατέρας ἀποδιδομένης τῇ προσφόρῳ κινήσει. καὶ γὰρ οὐκ ἄτοπον πρὸς τῆς ἀληθείας αὐτῆς καὶ τῶν λόγων τῆς ἰσότητος ἔκφυλον, δύο τὰς κινήσεις λέγοντας τέτταρας ὑποθέσθαι τὰς ὥρας· καὶ παρενείρειν χειμῶνι μὲν ἔαρ, θέρει δὲ πάλιν ὥραν ἑτέραν, ὥσπερ ἂν εἰ παρὰ τοῦτο μείζων ὁ ἐνιαυτὸς ἑαυτοῦ γίνεσθαι μέλλοι; ἐγὼ δὲ δὴ καὶ εἶδον ἐπὶ λιθίνης εἰκόνος κύκλον τινὰ γεγραμμένον, καὶ τοῦτον ἑκατέρωθεν γυναῖκε δύω πτερυγοφόρω δόξαν παρειχέτην ταῖς χερσὶ περιστρέφειν. θαῦμα δὲ σχὼν τῆς γραφῆς, οὐδὲ γὰρ ὅτι βούλεται εἶχον συνεῖναι, ἐπηρόμην τῶν τινα προσεστώτων, ὅτι δήποτε σημαίνειν ὁ γεγλυμμένος ἅμα τοῖν γυναίοιν ἐθέλει τροχός. καὶ ὃς ἐξηγούμενος τὴν εἰκόνα· τὸν μὲν κύκλον, ἔφασκεν, ὦγαθέ, τὸν ἐνιαυτόν μοι νοήσαις. τὼ δὲ

παρεστῶτε ζωδίῳ τὰς ὥρας σοι παρίστα, τοσαύτας οὔσας αἳ τὸν ἐνιαύσιον κύκλον ἐξ ἀμοιβῆς ἐς τὸ διηνεκὲς διατελοῦσιν ἐπιτροπεύουσαι. καὶ γὰρ ταῦθ' οὕτω τοῖς σοφωτέροις ἐδόκει τῶν παλαιῶν· ἀλλ' ἐπεὶ μὴ ἔκφορα τὰ πολλὰ τῶν τῆς φιλοσοφίας δογμάτων, οὐδ' αὐτὰ παρεδόθησαν βίβλοις, ἀλλ' ὡς ἐν συμβόλοις τισί, καὶ οἷα δὴ τὰ τῶν Αἰγυπτίων ἱερὰ πάλαι δήποτε λόγος ἔχει γράμματα γεγονέναι, συγκεκρύφαται. καὶ ὁ μὲν ὧς εἶπεν· αὐτὸς δέ μοι νυνὶ σύμβαλλε τὴν εἰκόνα τῷ λόγῳ, κἂν εἰ συμβαίνουσαν ὁρᾷς κατὰ πᾶν ὁτιοῦν, πείθου. καὶ χειμῶνα μὲν ὑφεστηκέναι περὶ τὸν χρόνον, ἔαρ δὲ εὔφημον ἄλλως ὄνομα τεθρυλῆσθαι· καὶ κρατήσει κἂν τούτῳ πάλιν ἐκ πολλοῦ τοῦ περιόντος ἔαρος ὁ χειμών.

Τοῖς μὲν οὖν λόγον μόνου τοῦ καλοῦ ποιουμένοις οὕτω τὰ τῶν ὡρῶν μετρηθήσεται καὶ οὕτω ταχθήσεται· ἰατρῶν δὲ παῖδες, εἰς οὓς ἐγὼ τὴν περὶ τὰς ὥρας ἀναφέρω καινοτομίαν — οὗτοι γὰρ ἐς τὰ μάλιστα νεωτεροποιοί — καὶ τετραχῇ τὸ ἔτος διένειμαν. πρόφασιν μὲν ὥς τι μέγα καὶ κοινωφελὲς περὶ τὸν βίον εἰσάγοντες, σοφώτεροι δὲ δοκεῖν ἐντεῦθεν οἰόμενοι τῷ πολλοὺς ἀπατᾶν καὶ ἵνα πολὺ σφίσι πορίζοιτο τὸ ἀργύριον· διὰ ταῦτα γὰρ καὶ οὔ φασι δεῖν τῶν αὐτῶν φαρμάκων ἑκάστης ὥρας λαμβάνειν, χρῆσθαι δὲ δεῖν νῦν μὲν τοῖς, νῦν δὲ τοῖς, καὶ ἄλλοτε ἄλλοις, ὡς ἂν ἐκείνοις δοκῇ. καὶ εἴθε μέχρι τούτου τὸ προπετὲς ἔστησαν. νῦν δὲ τολμῶσι καὶ ταύτας ὑποδιαιρεῖν· λεγόντων γοῦν ἀκούσεις ἐν ἀρχαῖς μεσοῦντος, φθίνοντος, ἔαρος, θέρους καὶ τῶν λοιπῶν, κατά τινα τῶν πάλαι Ῥωμαίων στρατηγόν· ὃν λέγεται προίστασθαί τινος ἔθνους λαχόντα· ἐπεὶ κατ' ἔμμηνον ἔγνω πολὺν τὸν δασμὸν εἰσπραττόμενος, τοὺς τοῦ ἔτους μῆνας δύο παρὰ πᾶσι νομιζομένους καὶ δέκα περί που τοὺς τεσσαρεσκαίδεκα πεπλεονακέναι ἐπιθυμίᾳ τοῦ ὅσον πλεῖστον χρηματίσασθαι.

Ἀλλ᾽ ἔστω· δεδόσθω καὶ ἔαρ εἰς τὰς ὥρας εἰσγράφεσθαι· ἀλλὰ καὶ εἴ τι χάριεν ὑπὸ τῶν πολλῶν ἀποκληροῦται τῷ ἔαρι, τῷ χειμῶνι καὶ τοῦτο προσλογίζεσθαι χρή, οἷα δὴ τὰ τοῦ μέρους τῷ ὅλῳ· ὅτι καὶ μέρος χειμῶνος τὸ ἔαρ, κατὰ μικρὸν ἀνεθέντος καὶ λωφήσαντος ὕστερον· ἐπεὶ γὰρ ὁ μὲν χρόνος ἐν αἰδίῳ φορᾷ, τὰς δ᾽ ὥρας, κοινῇ μὲν πάσας καὶ ἀλλήλων ἐχομένας, αἰδίως καὶ αὐτὰς κινεῖσθαι συμβέβηκε. τοῦτο γὰρ πάλιν ὁ χρόνος, τῷ δὲ διαλείπειν καὶ παραχωρεῖν ἑτέραν ἑτέρᾳ τοῦ περὶ τὸν κόσμον ἔχειν αὐτὰς καθ᾽ αὐτὰς παυομένην τὴν κίνησιν ἔχειν· πᾶσαν δὲ ἠρεμίαν δεχομένη κίνησις οὐκ ἄνευ τοῦ κατολίγου ἀπολήγειν γίνεσθαι πέφυκε. καὶ τοῦτ᾽ ἐκ πολλῶν δῆλον. καθαρώτατον δὴ ὡς καὶ χειμών, οὐχ ὡς ἑτέρως, ἀλλ᾽ὡς ὥρα τῆς κινήσεως στήσεται. καὶ τέλος ἔσται τὸν λόγον τοῦτον χειμῶνος τὸ ἔαρ.

Καὶ χειμὼν ἐπικρατέστερος ἔαρος. ἢ οὐχ ὁρᾷς, ὡς καὶ πρὸς τῶν ὀνοματοθετησάντων ὀλίγου δεῖν οὐδ᾽ ὀνόματος τυχεῖν τὸ ἔαρ ἐμέλλησε; πῶς γὰρ χειμῶνι, πῶς θέρει, πῶς φθινοπώρῳ; ἑκάστῳ τούτων ἢ πλῆθος ἢ ἔκτασις συλλαβῶν, ἢ συμφώνων γοῦν ηὐτυχήθη περιουσία· ἔαρ δὲ πάντων ἐνδεές, ψιλόν, συνεληλαμένον ἐς τὸ βραχύτατον· ἔοικε γάρ πως καὶ ἀπειρημένον εἶναι παρὰ τοῖς ἀρχαίοις ἔαρ προσαγορεύειν, καὶ τὸν ἔαρ εἰπόντα ἔα καὶ μὴ φράζε δηλονότι ἀκούειν· ποιηταὶ δὲ καὶ ποιητῶν παῖδες, οἱ καὶ μάλιστα θεῶν εἰδότες καὶ βουλὰς καὶ ἀπόρρητα, καὶ ἐξᾶραι τοῦτ᾽ ἠβουλήθησαν. τῇ δὲ περὶ τὸν ἑλληνισμὸν κηδεμονίᾳ καὶ διότι δὴ τοῦ πλήθους τῶν ὀνομάτων ἀπλήστως εἶχον, ἐφείσαντο μέν, συνεῖλον δὲ ἐς ὅσον ὀλίγιστον, ἦρ τὸ ἔαρ προσειρηκότες, ὥστε λανθάνειν κατὰ τὴν συνέπειαν καὶ μὴ μεταξὺ λεγόντων τοὺς ἀκούοντας δυσχεραίνειν.

Οὕτω δὲ προιόντι τῷ λόγῳ καὶ ἕτερον ἀνακύπτει κεφάλαιον, δι᾽ οὗπερ οὐχ ὅτι ἔαρος, ἀλλὰ καὶ τῶν ἄλλων ὡρῶν

ἐπισημότερος ἀναφανήσεται ὁ χειμών. τριῶν γὰρ ὄντων τῶν γενῶν, ὡς τοῖς περὶ γραμματικὴν ἐσχολακόσι τετεχνολόγηται, καὶ τοῦ μὲν ἀρσενικοῦ καλουμένου, τοῦ δὲ θηλυκοῦ, οὐδετέρου δὲ τοῦ τρίτου καὶ τελευταίου, βέλτιον μὲν ἐν ἅπασι καὶ προφερέστερον τοῦ θηλυκοῦ τὸ ἀρσενικόν, κἀκεῖνο πάλιν τοῦ οὐδετέρου· καὶ οὕτω δὴ ἄρα πολλῷ ὑπερέχον τοῦ τρίτου τὸ πρῶτον· τὸ γὰρ τοῦ μείζονος μεῖζον μακρῷ μεῖζον. ἣν οὖν χειμὼν μὲν ἀρσενικῶς χρηματίζειν ἀξίαν ἔσχεν, ἔαρι δὲ καὶ θέρει καὶ μετοπώρῳ οὐδὲ θηλυκῶς γε ἐξεγένετο ὠνομάσθαι, πῶς οὐκ ἀθέμιτον, μὴ οὐχὶ κρείττονος αὐτὸν ἢ κατὰ ταῦτα τιμῆς ἀπολαύειν; ἵνα γὰρ μὴ τοῖς χρόνῳ ὕστερον ἐσομένοις, ἐπείπερ ἔμελλεν ὁ τῶν ἀνθρώπων βίος πρὸς τὸ τρυφερώτερον ὑποχωρεῖν, χεῖρόν τι παρὰ τὰς λοιπὰς ὥρας ὑποληφθῇ ὁ χειμών, ἀρσενικοῦ κλήσει δὴ τοῦτον προσεῖπον οἱ πρότερον ἐκείνων τῷ γένει διῳκηκότες ἐκ διαμέτρου οἱονεῖτε σύνθημα δεδωκότες αὐτὸ τοῦτο τὸ γένος καὶ μονονουχὶ κεκραγότες· ὡς οὗτος ὁ καιρὸς καθ' ὃν δεῖ ζῆν ἄνδρα· καθ' ὃν ἀνδραγαθίζεσθαι· καθ' ὃν γενναῖον καὶ ἀρρενωπὸν τὸν ἄνθρωπον εἶναι.

Εἰ δὲ καὶ τὸν κατὰ τὸ ἔτυμον πολυπραγμονοίη τις λόγον, οὐδὲν ἧττον καὶ οὕτω τῆς οἰκείας ἐλαττώσεως ἔαρ αἰσθήσεται. ἢ δειξάτω τις παριών, μὴ τὴν γνώμην ταλαντευόμενος, πόθεν ἔαρ ἐτύμως λεχθήσεται, τοῦ χειμῶνος καὶ κατὰ τοῦτο πλείστης ἠξιουμένου σπουδῆς, ἵνα καὶ μόνον λεγόμενος, ὅπερ ἐστί, παρέχοι νοεῖν. δοκοῦσι δὲ δή μοι καὶ Ῥωμαίων οἱ κατὰ τοὺς ἄνω χρόνους, οἳ τῶν καθ' ἑαυτούς τε καὶ ἔπειτα ἀνθρώπων περιφανέστατοί τε γεγόνασι καὶ ὀνομαστότατοι, μὴ ἄνευ σπουδαίας καὶ σοφῆς ἐπιστασίας τὴν ἀρχὴν τοῦ ἔτους προσνεῖμαι χειμῶνι καί, ἧγε πρώτως ταυτησὶ τῆς ὥρας εἰσβαλλούσης περιέτυχον νουμηνίᾳ — οὐ γὰρ ἐπιδέξιον ἐδόκει πως ἅμα τῇ τοῦ χειμῶνος εἰσόδῳ κολούειν τὴν κατάστασιν τοῦ μηνός —,

ταύτην καὶ ἑορταῖς καὶ θυσίαις δημοτελέσι νόμον θεῖναι γεραίρειν· καὶ μαρτυροῦσί μοι τοῦ λόγου καὶ καλάνδαι ἰαννουάρειοι καὶ τὸ ἐξ ἐκείνου καὶ εἰς τόδε κρατῆσαν ἔθος.

Καὶ ὑμεῖς δὲ ὅσοι γε τῶν ἁπάντων; ἆρ᾽ οὖν ἱκανὰ τὰ εἰρημένα πεπεῖσθαι, τίς μὲν χειμὼν καὶ χειμῶνος τιμιότης καὶ ἀρετή, τί δ᾽ἔαρ καὶ ἔαρος ταπεινότης, ἀποδεδειγμένων ἑκατέρων ἔκ τε πολλῶν ἄλλων καὶ ἐξ ὧν οἱ παλαιότεροί τε ὁμοῦ καὶ σοφώτεροι περὶ αὐτῶν ὑπειλήφασιν; ἢ καὶ εἰ συντελεῖ τι τῷ κόσμῳ χειμών, ἀπαιτεῖτε, καὶ εἰ τοῖς ἀνθρώποις ἁρμοδιώτερος ἔαρος, ἵνα δὴ καὶ ἐντελῆ τὴν περὶ αὐτοῦ ἐξενέγκητε ψῆφον; καὶ γοῦν ἐπιχειρήσω καὶ τούτοις μηδεμίαν ἀναβολὴν ποιησάμενος.

Καὶ πρῶτον, ὅτι εἰ μὴ χειμὼν ἦν, οὐδ᾽ἂν κόσμος ἦν· ἔαρος δὲ μὴ ὄντος, οὐδὲν ἐμποδὼν μὴ κόσμον εὖ συνεστάναι. ἀεὶ γὰρ ἑκάστης περιτροπῆς ἔτους θέρος ἀναφλεγούσης, ἐπειδὰν ἐγγύτερον ἡμῖν ἐπιστήσῃ τὸν ἥλιον, καὶ τηνικαῦτα τῶν μὲν ποταμῶν τῶν μὲν μειουμένων, τῶν δὲ παντάπασιν ἐκλειπόντων· πηγῶν δὲ καὶ λιμνῶν καὶ φρεάτων οὐδ᾽ αὐτῶν τῆς ἐντεῦθεν συμφορᾶς ἔξω καθισταμένων· καὶ τοῦ μὲν περὶ ἡμᾶς ἀέρος ξηραινομένου τῆς τε γῆς κραυροτέρας ἀποτελουμένης· φυτοῦ δὲ καὶ πόας ἁπάσης αὐαινομένης τῷ πᾶσαν πανταχόθεν ἀνιμωμένην οἴχεσθαι τὴν ὑγρότητα, ἔχοις εἰπεῖν πόθεν ἂν αὖθις ἀνθήσοι κόσμος; πόθεν ἐς τὸ πολυτελὲς ἐκ τοῦ ἐνδεοῦς ἀντιπεριισταίη; πόθεν, μηκέτ᾽ εἶναι κόσμος κινδυνεύων, τὸν κίνδυνον ἀποσείσαιτο; ἀλλ᾽ οὐδὲν ἄδηλον. εἰ γὰρ μὴ χειμὼν ἐπεγίνετο τοῦ ἡλίου πορρώτερον, ἢ ὥστε ἐκ τοῦ ἴσου τῇ θερείᾳ φλογὶ τοῖς καθ᾽ ἡμᾶς προσβάλλειν γινομένου, ἀνισοτάτων δηλονότι καθ᾽ὅσον οἷόν τε κατὰ τὸ μεσημβρινὸν τῶν διά τε τῶν ἀκτίνων καὶ τοῦ διὰ τοῦ ὁρίζοντος ἐπιπέδου συνισταμένων γωνιῶν, πάλαι ἂν ἐγεγόνει πάρεργον θέρους ὁ κόσμος καὶ

οὐδενὸς ἐδέησε τὸ κατὰ τὸν Φαέθοντα μυθευόμενον πάθος ὑπερελάσαι. δεῖ γὰρ ἀντιστῆσαι τῷ μὲν θερμῷ τὸ ψυχρὸν· τὸ δὲ ὑγρὸν τῷ ξηρῷ, εἰ μέλλοι τἀναντία τῶν ἐναντίων ἰάματα ἔσεσθαι, καὶ ταῖς μὲν ὑπερβολαῖς τὰς ὑπερβολὰς ἀντιθεῖναι· τῇ δὲ κενώσει τὴν πλήρωσιν εἵνεκα τῆς εἰς τὸ σῶφρον καὶ μέτριον ἀποκαταστάσεως τῶν ἀτακτησάντων· τοῦ τε τοὺς ποταμοὺς αὖθις ῥυῆναι, καὶ πηγὰς καὶ λίμνας γῆς ὑπερκύψαι τὸ περίγειον καταψύχοντα· καὶ πόαν βλαστῆσαι ὅση τε σπερματικὴ καὶ ὅση αὐτόματος.

Καὶ χειμὼν μὲν τοιοῦτος καὶ οὕτω βιωφελέστατος. ἔαρ δὲ μικρὰ ἢ οὐδὲν τῷ κόσμῳ συμβάλλεται. σκόπει καὶ γὰρ τῶν ποιοτήτων δι' ὧν καὶ στοιχεῖα κόσμου καὶ ἐνιαυτοῦ ὧραι καὶ τὰ καθ' ἕκαστον σώματα τὴν σύστασιν ἔσχον, τεττάρων οὐσῶν — ψυχρότητος δηλαδὴ καὶ θερμότητος, ξηρότητός τε ὁμοίως καὶ ὑγρότητος — ταῖς μὲν δυσὶ θέρος συνεκροτήθη· τὸ ψυχρὸν δὲ καὶ ὑγρὸν χειμὼν κληρωσάμενος καί, ἔαρος μὴ προσγενομένου, τοὐπίλοιπον τοῦ ἔτους ἀνεπλήρωσεν ἄν. καὶ οὐδὲν ὁ κόσμος ἐζημίωτο τῷγε εἰς τὰς ποιότητας ἥκειν, ἐξ ὧν, ὡς εἴρηται, καὶ συνέστη. ἀλλ' ἀνάγκη πᾶσα φησίν, ὡς ἀὴρ πυρὸς μέσῳ καὶ ὕδατος κέχυται, καὶ χειμῶνι καὶ θέρει ἔαρ μεσολαβεῖν, ἵν' ἐπικηρυκευόμενον ἑκατέροις τήν τε μάχην σφῶν ἐπέχοι καὶ τὸ μὴ ἄλληλα φθείρειν χαρίζοιτο. ἀλλὰ πυρὶ μὲν ᾧ οὗτος καὶ ὕδατι σώμασί τε εἶναι καὶ ἅμα κατὰ τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀλλήλοις ἀντιδιῃρημένα ὑφεστάναι ὑπῆρξεν, ἀμέλει καὶ τῆς ἄκρας πρὸς ἄλληλα μετειληχόσιν ἐναντιώσεως ἐδέησε σφίσιν ὥσπέρ τινος μεσοστοίχου τοῦ ἀέρος, ᾧ καὶ ἄμφω κατὰ θάτερον κοινωνοῦντα τῆς ἑαυτῶν συστοιχίας, οὐκ ἀπεβάλοντο πράγματα παρέχειν ἀλλήλοις. χειμῶνα δὲ καὶ θέρος οὔθ' ὑφεστῶτα σώματα οἶδα, οὔθ' ἅμα κατ' οὐδεμίαν συνιστάμενα σχέσιν. εἰ γοῦν νῦν χειμῶνος ἐνισταμένου οὐδαμῇ οὐδα-

μοῦ θέρος ὁρᾶται — οὐδὲ γὰρ θέρους ἐπιγενομένου χειμών που περιλειφθήσεται, θατέρῳ δὲ θάτερον παραχωρεῖ καὶ ὑποκατακλίνει, μὴ ἀντιτεῖνον ἢ λυμαινόμενον τῷ λοιπῷ —, τίς ἦν, φής, ἀνάγκη καὶ ἔαρ αὐτοῖς παρεμβεβλῆσθαι; οὐδὲ γὰρ παρὰ τοῦτ᾽ ἂν χεῖρον ὁ κόσμος ᾠκονομήθη.

Ὁπότε γοῦν χειμὼν μὲν ἀναγκαῖος ἀπεδείχθη τῷ παντὶ καὶ ὠφελιμώτατος, ἥκιστα δὲ τὸ ἔαρ τοιοῦτον, σκοπεῖν παρίημι, πόσῳ τούτου ἐκεῖνος ὑπερτερεῖ. καὶ οὕτω μὲν χειμῶνος τόδε τὸ σύμπαν ἀπώνατο. τοῖς δ᾽ ἐν αὐτῷ διαιτωμένοις ἀνθρώποις ἀπρόσφορος οὗτος ὤφθη καὶ ἀκατάλληλος, ἢ πρόσφορος μέν, οὐ πᾶσι δέ· ἢ πᾶσι μέν, ἀλλ᾽ οὐχ ὅσα ἔτη· ἢ καὶ τοῦτο μέν, ἔχει δὲ καί τι κακὸν ἐν αὐτῷ παραπεφυκός; οὐδαμῶς. ἀλλὰ καὶ κακῶν ἀμιγὴς καί, ὁσάκις ἂν ἐπιστῇ περιπορευομένου τοῦ χρόνου, λυσιτελέστατος καὶ οὐκ ἔστιν οἷς τῶν ἁπανταχοῦ γῆς οὐ γίνεται χρησιμώτατος. οὗτος γὰρ ὁ σώμασιν ὑγείαν καὶ εὐτονίαν δωρούμενος, ὁ νόσων ἐλατὴρ ὅσαι τε ἔαρος ἢ θέρους ἢ φθινοπώρου ἐνέσκηψαν καὶ ὅσαι προσβαλεῖν ὑπεφαίνοντο· ἐν τούτῳ γὰρ τὸ ἐν τῇ φύσει τοῦ ζώου θερμὸν εἴσω τε πρὸς ἑαυτὸ ἐπιστρέφον καὶ τὴν ἐντὸς οἰκονομίαν πρὸς τὸ βέλτιστον χειρίζον καὶ διεξάγον. οἷα δὴ τὸ τῶν ὅλων κῦρος ἑκόντων παρειληφὸς οὔτέ τινι τῶν ἔξωθεν εἰσπίπτειν ἐφίησι· καὶ εἴ τι φλαῦρον ἔνδοθεν ὡς ἐν πόλει τυραννὶς ἀναφυῆναι δίδωσιν ὑποψίαν, προκαταλαμβάνει τῷ τε δύνασθαι καὶ πᾶσιν ἐφίστασθαι καὶ διαλύειν τὴν κατὰ τῆς τοῦ ζώου πολιτείας συνισταμένην συνωμοσίαν. ἐν ἔαρι δὲ πᾶν ἀπαντᾷ τοὐναντίον· ἔξεισι μὲν γὰρ περὶ τὰ ἔξω τότε διαχεόμενον τοῦτο δὴ τὸ θερμόν, τῆς προσηκούσης αὐτῷ λειτουργίας ἐπιλαθόμενον, εἰσπηδᾷ δ᾽ εἰς τὸ ζῶον τὸ πάθος κατὰ πολλὴν τοῦ κωλύοντος ἐρημίαν· ὡς εἴ τις ἐξάρχων δυνάμεως ἐν δυσφυλάκτοις χωρίοις ἐστρατοπεδευμένος τὴν στρατιὰν αὐτοῦ καταλείψας περὶ θέατρα καὶ λουτρὰ

καὶ πανηγύρεις ἀποχωρήσας ἠσχόληται· κᾆτα λαθόντες οἱ πολέμιοι καὶ ἐς μέσον πρὸ αἰσθήσεως ὠσάμενοι τὸ στρατόπεδον, ἢ σύμπαν διήρπασαν καὶ διέφθειραν, ἢ δεινῶς γοῦν κακώσαντες ἀνεχώρησαν. καὶ ἔοικέ πως τὸ περὶ αὐτὸ σύμπτωμα τῇ τοῦ νοῦ καταστάσει. καὶ γὰρ κἀκεῖνος εἴσω μὲν ἐπεστραμμένος πρὸς ἑαυτὸν ἀκραιφνὴς μένει· καὶ νήφων καὶ ἀπαθὴς καὶ πρὸς τὸ κρεῖττον ἑαυτὸν ἀπευθύνων· σκεδαννύμενος δὲ καὶ περὶ τὰ ἔξω πλανώμενος χώραν εἰς ἑαυτὸν τοῖς πάθεσι δίδωσιν. ὅσῳ τοίνυν ὑγεία νόσου καὶ τοῦ πόλιν ἁλῶναι ἢ τυραννηθῆναι τὸ κατὰ νόμους βασιλεύεσθαι βέλτιον καὶ τοῦ στρατιὰν ἐκ ῥᾳθυμίας ἀποβάλλοντος ἡγεμόνος ὁ σώζων ἀμείνων καὶ νοὸς ἐμπαθοῦς ἀπαθής, τοσῷδε καὶ χειμῶνος ἔαρ ἡττᾶται.

Ἀλλ' ἐχώμεθα καὶ αὖθις τοῦ λόγου δεικνύντος, ὡς ὑγείας ἀνθρώποις ὁ χειμὼν μονώτατος αἴτιος. ὁ χειμὼν ἐν οἷς μὲν μᾶλλον ὁ κόσμος κέκλιται, μᾶλλον καὶ τὴν οἰκείαν ἰσχὺν ἐπιδείκνυται· ἐν οἷς δ'ἧττον, ἧττον· ἔνθα δ'ἐπ' ὀρθῆς κεῖται τῆς σφαίρας, οὐδ' ὀνομάζεται. ἄθρει δὴ τίσι μὲν σώμασιν, οἷς ὁ χειμὼν ἀκμαιότερος ἐπιδημεῖ, κέχρηνται ὡς μὲν ὑγιεινοτάτοις, ὡς δ'εὐμήκεσι καὶ εὐτονωτάτοις, ὡς δὲ λευκοτάτοις ὁμοῦ καὶ εὐπρεπεστάτοις· εἰσὶ δ'οὗτοι Γάλλοι καὶ Γερμανοὶ καὶ Σαυροματῶν ἔθνη καὶ ἄλλοι, οὓς ἔργον ἀπαριθμεῖν, οἷς ὑπὸ περιουσίας τοῦ ὑγιαίνειν οὔτ' ἰατρὸς εἰς γνῶσιν ἐφοίτησεν, οὔτ' ἰατρική· τίς γὰρ χρεία τέχνης, ἔνθα μὴ ἔστιν αὐτῇ χρῆσθαι; ἀντίθες τούτοις τοὺς νοτιωτέρους, οἷς ἧττον ὁ χειμὼν ἐπιχωριάζει. οὐκουν ὄψει τούτους τὴν μὲν ἡλικίαν βραχυτάτους, τὴν δὲ φύσιν εὐπαθεστάτους, ἐκλελυμένους καὶ ἀσθενεῖς τὸ σωμάτιον, κατηθαλωμένους τὴν ὄψιν καὶ μέλανας καὶ οἷα τὰ ἐν ταῖς τριόδοις πλαζόμενα νυκτὸς εἴδωλα καὶ τοσοῦτον δυσπραγοῦντας κατὰ πᾶν ὁτιοῦν, ὅσον εἴργονται τῆς τοῦ χειμῶνος ἐπι-

κουρίας, διὰ δὴ ταῦτα καὶ τοὺς πλείστους αὐτῶν, εἰ μὴ πάντας, ἰατρικὴν μετιόντας. οὐδὲ γὰρ οἷοίτε εἰσὶ διαγίνεσθαι, εἰ μὴ χειροποίητον ἑαυτοῖς χειμῶνα διὰ φαρμάκων, διὰ πομάτων, διὰ πολλῶν ἄλλων ἐπιτηδεύοιεν. νοήσεις δὲ τούτους Ἰνδούς, Αἰθίοπας, Λίβυας καὶ πολὺν ἄλλον ὅμιλον δυστυχούντων ἀνθρώπων. εἰ δὲ καὶ ἐπὶ τὴν τοῦ ἰσημερινοῦ θέσιν ἥξεις, ἐκεῖ τὴν τοῦ γένους θρηνήσεις πανωλεθρίαν, καὶ τὴν ᾀδομένην ἐκπύρωσιν τοῦ παντὸς καὶ οὐκέτι ποιητικῆς αὐτονομίας εἶναι τὸ κατὰ τὸν Φαέθοντα φήσεις. μόνοις ἰατροῖς ἀσυντελὴς ὁ χειμών. τούτου γὰρ ἀπαθῆ τηροῦντος τὰ σώματα, οὐκ ἔχουσιν εἰς ὅτι τῇ τέχνῃ χρήσαιντο. καὶ τῶν ἄλλων καλῶς ἐχόντων οὗτοι νοσοῦσι δεινῶς καὶ τὴν ἑαυτῶν ὀλοφύρονται κακοδαιμονίαν, ἐν ἀφθονίᾳ καλῶν ἀπορούμενοι καὶ ἐν μέσοις τοῖς χειμερίοις ὕδασι Ταντάλειον ὑπομένοντες δίψαν.

Σὺ δ' εἰ βούλει, καὶ τόδε σκοπῶμεν.

Τί τὸ εἰς ὑπόμνησιν ἡμᾶς ἄγον τῆς ἀνθρώπῳ πρεπούσης διαγωγῆς; οὐχ ὁ χειμών; πρότερον μὲν γὰρ ὡς τὰ θηρία βιοτεύειν εἶχον οἱ ἄνθρωποι, ὄρη καὶ νάπας οἰκοῦντες, ἢ κοῖλον ὑποδύοντες δένδρον, ἢ ὑπὸ προβολὴν πέτρας κρυπτόμενοι, ἢ εἰς ἕλη καταδυόμενοι· καὶ πάντα ἦν αὐτοῖς πρὸς τὰ θηρία κοινά, τὸ ἄμικτον, τὸ ἀκοινώνητον, τὸ ἀμείλικτον. χρόνοις δ' ὕστερον τῇ κατ' ὀλίγον αἰσθήσει συλλεξάμενοι σύνεσιν καὶ κατὰ δήμους συστάντες καὶ πόλεις ἐξεπόνησαν καὶ οἰκίας ἐδείμαντο, εἰς ἃς καταφυγόντες καὶ θάλπος ἀπεκρούσαντο καὶ ὑπερβολὰς ὑετῶν, ὅτε δὴ πρῶτον καὶ ἄνθρωποι ὄντως ἔγνωσαν ὄντες· ἀλλὰ καὶ τότε μὲν ὁ χειμὼν αὐτοὺς ταῦτ' ἐπαίδευσε συνελάσας εἰς τὰς οἰκίας· καὶ νῦν δὲ οὐδὲν ἧττον πολὺς ἔγκειται βιοτῆς ἀνθρωπίνης ἀναμιμνήσκων ἀντέχεσθαι. κἂν που λειποτακτοῦντα τὴν φύσιν μάθῃ τινὰ καὶ ἀπελευθεριάζοντα, ὥστε μὴ κατὰ τὸν κείμενον θεσμὸν εἰς συνοικίαν

ἀνθρώποις ἰέναι, καὶ στρατηγοῦ καὶ νομοθέτου δίκην αὐτὸν μέτεισιν, οὕτως ἀπαραιτήτῳ περὶ τὰ τῆς φύσεως δίκαια χρῆται τῷ ζήλῳ. ἀλλ' οὐχὶ τὸ ἔαρ τοιοῦτον. ἐξάγει μὲν γὰρ τῆς στέγης τὸν ἄνθρωπον, ὃν ὁ χειμὼν ἐγύμνασεν, ὃν ἀνθρώπινα φρονεῖν ἐδίδαξεν, ὄρεσι δὲ παραδίδωσι καὶ πεδίοις, καὶ θηρσὶν ὁμιλεῖν αὖθις ἀφίησιν ἐκλαθόμενον ὡσανεὶ τῷ ἀεὶ πρὸς τὰ χείρω κατολισθαίνειν, πόσῳ ἄνθρωπος διαφέρει θηρίου, καὶ εἰ μὴ χειμὼν αὖθις ἐκ περιτροπῆς ἀνάμνησιν ἀνθρώποις ἐνέβαλεν, ὅπως τὸν βίον χρεὼν διοικεῖν, οὐδ' ἂν ἔτι πολιτεῖαι ἐς δεῦρο καθίσταντο· οὐδ' ἂν ἀθρόοι συνηυλίζοντο ἄνθρωποι, πάλαι δ' ἂν ἔλαθον ἀποβαλόντες τὸν ἄνθρωπον καὶ θηριωθέντες.

Οὗτός ἐστιν ὁ χειμὼν ὁ σελήνης καὶ ἡλίου καὶ ἄστρων τηρήσεις διδάσκων· ὁ πρὸς οὐρανὸν ἀνακύπτειν κελεύων καὶ τοῖς ὑπερφυέσι θεάμασιν ἐντρυφᾶν. ἄρτι γὰρ χειμῶνος ἐπῆλθον τροπαί, καὶ ἡμεῖς ἡλίου καὶ ἀνατολὰς καὶ δύσεις ἐσημηνάμεθα, καὶ πλειάδας καὶ ἄρκτους καί τινα τῶν ἄλλων ἄστρων ἐπεσκεψάμεθα, καὶ συνόδους φωστήρων καὶ τὰς κατὰ διάμετρον αὐτῶν διαστάσεις οὐ παρεδράμομεν τῇ περὶ αὐτῶν ἀκριβολογίᾳ, ὡς ἑκάστῃ σεληνιακῇ περιόδῳ σύνοδος μὲν ἅπαξ καὶ πανσέληνος ἀπαρτίζεται, ἀμφίκυρτοι δὲ καὶ διχότομοι καὶ μηνοειδεῖς ἰσάριθμοι γίνονται τῷ μετὰ τὴν μονάδα εὐθὺς ἀριθμῷ προστεθεικότες. τῷ γὰρ χρήζειν εἰδέναι καὶ μὴ ἀγνοεῖν διὰ τὰ περὶ τὸν βίον ἔργα, πηνίκα μὲν ὁ ἀὴρ ἐκτὸς ἔσται πνευμάτων καὶ ὄμβρων· πηνίκα δὲ συστὰς εἰς ταῦτα χεθήσεται. τριταία ἤδε ἢ τεταρταία φαμὲν ἡ σελήνη ἀμβλείας ἔχουσα τὰς κεραίας ὄμβρος καταρραγήσεται· αὔριον πανσέληνος ἢ νουμηνία τὴν σελήνην ἀφανῆ θήσει; μεταβολὴν τοῦ ἀέρος προσδόκα. ἅλως περὶ τὴν σελήνην ἐρράγη; ἄνεμος ὅθεν ἡ ῥῆξις προσπεσεῖται. ἥλιον δὲ καὶ αὐτὸν ἐπιδόντες καθαρῷ τῷ ἀέρι

δύνοντα, καὶ τὴν ἐπιοῦσαν καθαρὰν καὶ ἀνέφελον μαντευόμεθα. καὶ πλειάδων ὑπὸ τὸν ὁρίζοντα ἐκ τοῦ ὁμοίου καταπταμένων, εὐκραὲς ἐπ' αἰσίοις τὸ ἔαρ οἰωνιζόμεθα. ἔαρι δὲ τίνος χάριν τούτων εἰσόμεθα; οὐκ ἀφέλκει πάντων αὐτῶν καὶ ἀναβεβλημένως ἐπιτρέπει βιοῦν; οὐκ ἀτέχνους τε καὶ ἀμυσταγωγήτους δαπανᾶν τὸν βίον παρασκευάζει, μηδενὸς συνιέντας τῶν ὅσα διὰ τῶν ἐν αὐτῷ συμπιπτόντων οὐρανὸς προτείνει καὶ θαυμασίως ὠφελῶν καὶ συμφερόντως ἐκπλήττων; τὸ γὰρ ἐν τούτῳ μὴ μεταβάλλειν ὡς τὸ πολὺ τοὺς ἀέρας ὀκνηρούς τε περὶ τὴν τῶν καλῶν ζήτησιν τοὺς ἀνθρώπους καὶ τοῖς παροῦσιν ἀγαπᾶν σὺν οὐδεμιᾷ τοῦ μέλλοντος προμηθίᾳ ποιεῖ.

Ἀπόχρη πρὸς τοῖς ἄλλοις καὶ τοῦτο εἰπόντα, δαιμονιωτέρας ἢ καθ' ὥραν ἄξιον ἀποφῆναι τὸν χειμῶνα τιμῆς. τούτου γὰρ ψυχρᾶς καὶ ὑγρᾶς τετυχηκότος τῆς κράσεως, ἐκ μὲν τοῦ ψύχους — ὃ μηδὲν τοῦ ψυχροῦ διαλλάττει — ψυχὴν τὸ τιμιώτατον ἐν τοῖς οὖσι προσαγορεύσαντες — καὶ ψύχειν γὰρ εἴρηται τὸ ζωογονεῖν —, ὑγείαν δὲ ἐκ τοῦ ὑγροῦ πολὺν ἐνέφηναν οἱ πάλαι τῷ χειμῶνι τὸν ὄγκον. ἡ δέ μοι ψυχή, καὶ ὅταν ἀναψυχῆς τινος ἢ ἀναψύξεως αἴσθηται καὶ παραψυχῆς ἢ ψυχαγωγίας ἀκούσῃ, ὑπερήδεταί τε καὶ σκιρτᾷ καὶ διαχεῖται. χαίρει γὰρ τοῖς ξυγγενέσι καὶ ὁμοψύχοις ὀνόμασι. καὶ τὸ ἀποψύχειν δὲ καὶ ἐκψύχειν οὐχ ἑτεροῖόν τι ἐστὶν ἢ τὸ χειμῶνος ἀφίστασθαι καὶ ἐξιέναι εἰσιόντα δηλονότι πρὸς ἔαρ. εἰ δὲ καὶ ὕδωρ ἀναλογεῖ τῷ χειμῶνι; τὸ δέ ἐστι πολυχρησιμώτατον τῶν στοιχείων, πρόδηλον ὡς καὶ χειμὼν τῶν λοιπῶν ὡρῶν, αἷς καὶ ἔαρ συναριθμεῖται, πολυωφελέστατος.

Ἐγὼ δ' ὅταν αὐτοῦ καὶ πρὸς τὰ ἄλογα διαβαίνουσαν κατανοήσω τὴν πρόνοιαν, οὐχ ὁρῶ, πῶς ἂν αὐτὸν ἀξίως θαυμάσω. κήδεται μὲν γὰρ πάντων, περισσότατα δὲ τῶν ἀσθενεστέρων καὶ μικροτέρων. καὶ οὔτε τοῖς μείζοσι συγχωρεῖ τοῖς ἥττοσιν

ἐπιτίθεσθαι, καὶ τούτοις ζῆν ἐν ἀδεεῖ προσφιλοτιμεῖται. ἐν ἔαρι δὲ πόσος ὄλεθρος τῶν τοιούτων. τίνα οὐκ ἂν συνελάσοι πρὸς οἶκτον ὁρῶντα τὰ μὲν ἄρκτοις, τὰ δὲ λέουσιν, ἔστι δὲ ἃ λύκοις καὶ τοῖς ἄλλοις θηρσὶ διασπώμενα· καὶ πτηνῶν δὲ ἃ μὲν τοῖς, ἃ δὲ τοῖς τῶν γαμψωνύχων ἐλεεινῶς σπαρασσόμενα.

Χειμῶνος καὶ οἷς ἄνθρωποι τρέφονται γῆθεν φύονται καὶ τὸ ἔαρ ὑπερβάντα, ἀπαξιοῦσι γὰρ ἐν αὐτῷ συγκομίζεσθαι, θέρει προσίασι κἀκείνῳ τὴν οἰκονομίαν ἑαυτῶν ἐγχειρίζουσιν. εἶδον ἐγὼ καί τινα φυτηκομίας ἐμπειρότατον ἐν εἰσόδῳ χειμῶνος ὀφθαλμούς μοι τινὰς ἐν τοῖς τῶν δένδρων ἔρνεσι φυλλοκρινοῦντά τε καὶ δεικνύντα τοὺς μὲν σφριγῶντας καὶ οἷον ὠδίνοντας, οὓς καὶ πάντως καρποφορήσειν αὐτὸ τὸ ἔτος διισχυρίζετο· τοὺς δὲ πεπιλημένους καὶ τεταλαιπωρημένους, ὧν πάντας ἀπεστειρῶσθαι τὸ αὐτὸ τοῦτ' ἔφασκεν ἔτος.

Καὶ ταῦτα μὲν οὕτω· τὸ δὲ ἡλιακὸν φῶς οὐκ ἀλυπότερον ὀφθαλμοῖς ἐν χειμῶνι; ἡ δ' ἐντεῦθεν ἀλέα οὐκ ἀσπαστὴ τῷ συμμέτρῳ; ὡς ἥδύτερον ἐνδιαιτᾶσθαι ταῖς ἀκτῖσι χειμῶνος.

Μετάγωμεν τὸν λόγον ἐπὶ τὰ τῆς φύσεως θαύματα, ἵνα τι καὶ τέρψωμεν ὑμᾶς ἀνέντες αὐτὸν ἀπὸ τοῦ συντόνου ἐπὶ τὸ μαλακώτερον. τὰ γὰρ παραδοξότατα καὶ ὧν ἄν τις μέγα θαῦμα ποιήσαιτο, οὐ πόρρω τῆς συνούσης αὐτοῖς ἡδονῆς χειμὼν ἐπιδείκνυται φέρων. τίς γὰρ οὐκ ἂν ἡσθείη χιόνος κατιούσης, ὁπότε πάντα κόσμον ὁρᾷ λευκαινόμενον καὶ οἷον νεοπλυνῆ ἐσθῆτα λαμβάνοντά τε καὶ φαιδρυνόμενον; καὶ τὸ ὕδωρ ἀχρωμάτιστον ὂν θαυμάσειε χρῶμα μεταλαμβάνον; καὶ ὡς χοῦν συμφορούμενον καὶ μὴ διαρρέον μηδὲ ζητοῦν τὴν πρὸς τὸ μέσον πανταχόθεν ἴσην ἀπόστασιν· ὅτε δὴ καὶ χιονέαν ἄρκτον ἢ λέοντα πλασάμενοι παῖδες ἐστήσαντο, τέρψιν ὁμοῦ καὶ θαῦμα ἰδέσθαι· ἢ ὅτε χειροπληθέσιν ὕδασιν ἀλλήλους ἀθύροντες βάλλουσιν, ἔστιν ὃς οὐχὶ θεατὴς ἐπιθυμεῖ τοῦ ἀγῶνος καθί-

ζειν; καί πού τις αὐτῶν ἐν παιδιᾷ καὶ χιόνα ὀπτήσειν πειρώμενος καὶ τὸ πῦρ ἔψυξε. τίς τὰ ὑπὲρ γῆς ὕδατα πετρούμενα βλέπων καὶ ἐπ' αὐτῶν βαδίζων· ἢ ποταμοὺς κρυσταλλωθέντας ἀβρόχοις ποσὶν ὡς διὰ λιθίνης ὁδοῦ περαιούμενος, οὐχὶ καὶ τὸν ἐν τῷ μύθῳ τὸν ἀπὸ Ταινάρου Πολύφημον οἴεται παρατρέχειν; τίς ἐπὶ τὸν Κιμμέριον βόσπορον ἥκων καὶ τῷ πήγνυσθαι τὴν Εὐρώπην συνάπτοντα κατανοῶν τῇ Ἀσίᾳ, καὶ ἃ τοῖς ὀνόμασι διέστησαν ἄνθρωποι, τῇ συμπράξει τοῦ χειμῶνος συνδέοντα παραδραμεῖται, μὴ πολλὰ θαυμάσας καὶ περιχαρὴς γεγονώς; πρὸς δὲ ταλανίσας καὶ εἴ τινές εἰσι χώραν οἰκοῦντες, ἢ μὴ ἔδωκεν αὐτοῖς τέρατα μαθεῖν καὶ μυστήρια φύσεως ὧν ὁ χειμὼν ἄριστος αὐτουργός.

Καὶ τί δεῖ πολλὰ λέγοντα τοὺς ἀκούοντας ἀποκναίειν; τοῦτο συλλαβὼν ἐρῶ· ὡς ὅτι πέρ ἐστιν ἐν βίῳ χρήσιμον καὶ δι' οὗ κόσμος συνίσταται καὶ ᾧ μάλιστα τῶν ἀλόγων οἱ λογικοὶ διαστέλλονται, οὐδὲν ὅτι μὴ δῶρον καὶ φιλοτιμία χειμῶνος.

Inventitur hoc opusculum monachi Byzantini haud sane illepidum et ineruditum

1. in codice Laurentiano — L — LVI 22 saeculi XIV. exeuntis. v. Bandin. Cat. bibl. Med. Laur.
2. in codice Monacensi — M — L saeculi XVI. v. Hardt. Cat. bibl. elect. Monac.
3. in codice Monacensi — N — CCCXXXVI saeculi XV. v. Hardt.
4. in codice Vindobonensi — V — CCLXIX saeculi XV. v. Lambec. et Nessel. Cat. bibl. caes. Vindob.

Descripsi codicem M, descriptum cum reliquis comparavi: ducem tamen Laurentianum fere solum ita adhibui, ut, nisi emendatio esset certa ac manifesta, huius scripturas in textum reciperem. restant quaedam mendose scripta, quae velim sanent doctiores. reliqui codices neglegentius scripti atque inutiles: ideo discrepantes eorum scripturas usque ad pag. 7. attulisse sat habui, Laurentiani attuli omnes. distinguendi signa, accentus, spiritus tacite correxi, quod nos subscribere solemus ι adieci. in plagulis corrigendis me adiuvit Ricardus Volkmann, vir amicissimus, qui et tres locos [7, 3. 12, 14. 17, 29] bene emendavit.

3 1.2 τοῦ αὐτοῦ [alia Planudis scripta in cod. praecedunt] χειμῶνος ἐγκώμιον L τοῦ αὐτοῦ σύγκρισις χ. κ. ἔ. M μαξίμου τοῦ πλανούδη χ. ἐγκ. N τοῦ σοφωτάτου μοναχοῦ κυρίου μαξίμου τοῦ πλανούδη σ. χ. κ. ἔ. V 3 ἶμοι M ἀποπηδήσειν ν alia manu M 5 ἀπαγγελούμεθα M 6 δεινῶς L 7 ἀξιουσῶν N 8 ἔχειν MN παρὰ M πάρα N τοῖς MN 9 πείρα M πεῖρα V 10 κατὰ λόγου M 11 πάντων om N 12 ἱκανῶς V 15 διὰ χύσεως M 16 κερασόμενος MNV 21 πιθανότης N 23 ἡδέως L 24 ἀπαιδευτὴς MN 4 1 τὴν μέγιστα M τὰ μέγιστα V 2 καυτῆρσιν N βαρωτέρας L βαρεωτέρας N 3 εἰπειράθησαν M 5 ἀποπηδήσει M λέγει M 6 ἀπέφηνεν N ἀπόφημαι V 8 χειμῶνος MN 9 κα-

τέλιπον N εἶτι V 10 ἀπεράτους pro ἀπλώτους MV πελαγίσαι N om καὶ ante πλῆθος MV 12 εἰς N 16 πιλήσαντα in textu, πήξαντα in marg. manu alia L παγετώσαντα in marg. manu alia L πετρώσαντα in textu LN παρώσαντα MV 21 ὅδε N 24 ἔπιτα M 28 ἔχει M 30 ὑπῆρξαι M **5** 1 αὐτοῖς M 2 λέγει M 3 ὑπαγορεύει M 4 γοῦν μὴ MNV 5 πρεσβεύει M 6 εὐθὺς in marg. N 10 πάνυ τι MV 11 ἥκειστα N θρυλλουμένοις MV 12 δεῖ V 16 μιουργοῦσι — ἐδογμάτισαν om N 18 συζόντων MV 23 ξυγγενᾶσθαι MNV 23 ὁμίλησεν M 30 πιθομένους N ς πειθομένου V **6** 2 ἔχει M 3 χρίνοι L μυριάκης N 4 ἀντιμαρτυρήσοι L 9 ἠσθόμενον N φιλοσοφοῦσαν N 13 πρὸ M τῆς M 16 κατ' εἶχνος N ἀξιοῦσιν L 18 εἰς τὸ N 20 ταύτῃ M 21 λόγους N 29 τούτω N 30 παραστεῖναι N **7** 1 ἐπὶ ἐπὶ N 2 αὐτὸ om N 3 τῶν codices 4 ζωηφόρος M 9 ἀεὶ pro ἐν N γίγνεσθαι MN 11 γίγνεται codices 12 ἄρχεσται N αὐτῷ om N ὑπηρετισάμενος V 14 τὲ N 15 τὸ N 16 ἑτέραν V 24 διατρίβει M μηδαμεῖ M 29 οἱ N τὰ om N **8** 14 οὐδ' om L habet M οὖσιν N 15 εἶγουν codices 23 ἑαυτοῦ om L γίγνεσθαι **9** 1 παριστᾶ 8 σὺ δὲ νυνὶ σύμβαλλέ [unum λ V] μοι alii 11 τεθρυλλῆσθαι 27 καθ lacuna quinque fere literarum ἔγνω L κα lacuna trium literarum μμηνον M καθ' ἔμμεινον N nescio V **10** 7 et quae secuntur corrupta sunt 12 malim φανερώτατον 17 ἐμέλησε **11** 9 om γε 12 χείρων 13 ἀρρενικοῦ **12** 4 locus mutilus 14 αὖ 22 om ἂν αὖθις 26 ἐπεγίγνετο 27 γιγνομένου **13** 17 προσγινομένου 18 τόγε ἧκον 23 σώματί **15** 9 ὑγίεια 29 τοῖς **16** 2 διαγίγνεσθαι 5 οὐχ οὗτος φησὶν ἡρόδοτος περὶ αἰθειόπων ἀλλὰ τἀναντία πάντα, καὶ οἰγιηνοτάτους καὶ μακρωβίους εἰς ὑπερβολὴν in marg. N 6 ἐπεὶ 8 om καὶ 25 ὅτε δὴ ὅτε **17** 7 πόσου 23 προστετηκότος supra τη est θει 29 ἄλλως